ἐμπίπτεις οὕτως αἰκῶς.
πολὺ γάρ τι κακῶν ὑπερεκτήσω,
σᾷ δυσθύμῳ τίκτουσ' αἰεὶ
ψυχᾷ πολέμους· τὰ δὲ τοῖς δυνατοῖς
οὐκ ἐριστὰ πλάθειν.

Ηλ. δείν' ἐν δεινοῖς ἠναγκάσθην·
ἔξοιδ', οὐ λάθει μ' ὀργά.
ἀλλ' ἐν γὰρ δεινοῖς οὐ σχήσω
ταύτας ἄτας,
ὄφρα με βίος ἔχῃ.
τίνι γάρ ποτ' ἄν, ὦ φιλία γενέθλα,
πρόσφορον ἀκούσαιμ' ἔπος,
τίνι φρονοῦντι καίρια;
ἄνετέ μ' ἄνετε παράγοροι.
τάδε γὰρ ἄλυτα κεκλήσεται·
οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι
ἀνάριθμος ὧδε θρήνων.

Χο. ἀλλ' οὖν εὐνοίᾳ γ' αὐδῶ, ἐπ.
μάτηρ ὡσεί τις πιστά,
μὴ τίκτειν σ' ἄταν ἄταις.

Ηλ. καὶ τί μέτρον κακότατος ἔφυ; φέρε,
πῶς ἐπὶ τοῖς φθιμένοις ἀμελεῖν καλόν;
ἐν τίνι τοῦτ' ἔβλαστ' ἀνθρώπων;
μήτ' εἴην ἔντιμος τούτοις
μήτ', εἴ τῳ πρόσκειμαι χρηστῷ,
ξυνναίοιμ' εὔκηλος, γονέων
ἐκτίμους ἴσχουσα πτέρυγας
ὀξυτόνων γόων.

216 ἐμπίπτουσ' A. Seyffert αἰκῶς Seidler: ἀϊκῶς rec: ἀεικῶς L A rec 221 ἐν δεινοῖς ἠναγκάσθην ἐν δεινοῖς codd. (ἐν δεινοῖς ἠ. δή T Tricl): δεινοῖς ἠ. δεινοῖς Brunck: post Wolffium (δείν' ἠ. ἐν δεινοῖς) et Kaibelium (ἐν δεινοῖς δείν' ἠ.) correxi 226 ἄν A rec Σ (ut videtur): om. L rec Suid. v. καίρια 232 ἀνάνομος Σ (ἔν τισι κεῖται): ἀνήριθμος Σ (κεῖται δὲ καὶ ἀνήριθμος) 236 κακότατος L rec Hesych. ii. 394: κακότητος A rec 238 ἔβλαστεν L rec